# Métrodóros z Lampsaku

Testimonia DK 61 A

**A 1** = Platón, Ion 530cd
οἶμαι κάλλιστα ἀνθρώπων λέγειν περὶ Ὁμήρου, ὡς οὔτε Μητρόδωρος ὁ Λαμψακηνὸς οὔτε Στησίμβροτος ὁ Θάσιος οὔτε Γλαύκων οὔτε ἄλλος οὐδεὶς τῶν πώποτε γενομένων ἔσχεν εἰπεῖν οὕτω πολλὰς καὶ καλὰς διανοίας περὶ Ὁμήρου, ὅσας ἐγώ.

**A 2** = Diogenés Laertios, Vitae philosophorum II, 11
Δοκεῖ δὲ [Anaxagoras] πρῶτος, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ (FHG III, 581), τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης· ἐπὶ πλεῖον δὲ προστῆναι τοῦ λόγου Μητρόδωρον τὸν Λαμψακηνὸν γνώριμον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον σπουδάσαι τοῦ ποιητοῦ περὶ τὴν φυσικὴν πραγματείαν.

**A 3** = Tatianos, Oratio ad Graecos 21, 3
καὶ Μητρόδωρος δὲ ὁ Λαμψακηνὸς ἐν τῶι Περὶ Ὁμήρου λίαν εὐήθως διείλεκται πάντα εἰς ἀλληγορίαν μετάγων. οὔτε γὰρ Ἥραν οὔτε Ἀθηνᾶν οὔτε Δία τοῦτ᾽ εἶναί φησιν ὅπερ οἱ τοὺς περιβόλους αὐτοῖς καὶ τεμένη καθιδρύσαντες νομίζουσιν, φύσεως δὲ ὑποστάσεις καὶ στοιχείων διακοσμήσεις. καὶ τὸν Ἕκτορα δὲ καὶ τὸν Ἀχιλλέα δηλαδὴ καὶ τὸν Ἀγαμέμνονα καὶ πάντας ἁπαξαπλῶς Ἕλληνάς τε καὶ βαρβάρους σὺν τῆι Ἑλένηι καὶ τῶι Πάριδι τῆς αὐτῆς φύσεως ὑπάρχοντας χάριν οἰκονομίας ἐρεῖτε παρεισῆχθαι οὐδενὸς ὄντος τῶν προειρημένων ἀνθρώπων.

**A 4**/1 = Hésychios, Lexicon
Ἀγαμέμνονα τὸν αἰθέρα Μητρόδωρος εἶπεν ἀλληγορικῶς.

**A 4**/2 = Filodémos, *Peri eusebeias*, Voll. Herc. c. alt. VII, 3f. 90 (Gomperz, Wien. Sitz. Ber. ph. h. Cl. 116, 14)
καὶ περὶ νόμων καὶ ἐθισμῶν τῶν παρ᾽ ἀνθρώποις, καὶ τὸν ᾽Αγαμέμνονα μὲν αἰθέρα εἶναι, τὸν ᾽Αχιλλέα δ᾽ ἥλιον, τὴν ῾Ελένην δὲ γῆν καὶ τὸν ᾽Αλέξανδρον ἀέρα, τὸν ῞Εκτορα δὲ σελήνην καὶ τοὺς ἄλλους ἀναλόγως ὠνομάσθαι τούτοις. τῶν δὲ θεῶν τὴν Δήμητρα μὲν ἧπαρ, τὸν Διόνυσον δὲ σπλῆνα, τὸν ᾽Απόλλω δὲ χολήν.

**A 5** = Porfyrios, Quaestiones homer. in K 252 (πλέω νὺξ) I; 147, 18 Schrad.
Μητρόδωρος (?) μὲν οὖν τὸ „πλεῖον“ δύο σημαίνειν φησὶ παρ᾽ ῾Ομήρωι· καὶ γὰρ τὸ σύνηθες, ὡς ὅταν λέγηι „νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο“ (θ 475) καὶ „ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο χεῖρες ἐμαὶ διέπουσι“ (A 165), σημαίνει[ν δὲ] καὶ τὸ πλῆρες ὡς ἐν τῶι „σὸν δὲ πλεῖον δέπας αἰεὶ ἕστηκε“ (Δ 262) καὶ ἐν τῶι „πλεῖαί τοι χαλκοῦ κλισίαι“ (B 226). νῦν οὖν τὸ ᾽πλέον᾽ ἀντὶ τοῦ πλῆρες εἰρῆσθαι.

**A 6** = Synkellos, Chron. (Ecloga chronographica?) 140c. I; 282, 19 Dind. = Schol. Vet. in Hes., Op. 63b Petrusi
ἑρμηνεύουσι δὲ οἱ ᾽Αναξαγόρειοι τοὺς μυθώδεις θεοὺς νοῦν μὲν τὸν Δία, τὴν δὲ ᾽Αθηνᾶν τέχνην, ὅθεν καὶ „τὸ χειρῶν ὀλλυμένων ἔρρει πολύμητις ᾽Αθήνη.“

**A 6** cfr = Geórgios Kedrénos, Compendium historiarum I, 144, 16-20 Bekker
οἱ δὲ Ἀναξαγόρειοι ἑρμηνεύουσι νοῦν μὲν τὸν Δία, τὴν δὲ Ἀθηνᾶν τέχνην. ὅθεν καὶ τό "χειρῶν ὀλλυμένων ἔρρει πολύμητιν Ἀθήνην." τὸν δὲ Προμηθέα νοῦν ἔλεγον· προμήθεια γάρ ἐστιν ἀνθρώποις ὁ νοῦς. διὸ καὶ μυθεύονται τοὺς ἀνθρώπους μεταπεπλάσθαι, δηλονότι ἀπὸ ἰδιωτείας εἰς γνῶσιν.

**A 6** cfr2 = Orphicorum fr. 347 Kern
χειρῶν ὀλλυμένων ἔρρει πολύμητις ᾽Αθήνη.